eul_wid: ggs-aa

*Θεόφιλος ὁ κωμικός* · Theophilus the Comic Poet

# Comic Fragments on Dining and Excess

*Ἀποσπάσματα περὶ Δείπνων καὶ Ἀκολασίας*

**Period:** *Κλασική* Classical
**Dialect:** *Κωμῳδία Ἀττική* Attic Comedy
**Domain:** *Κωμῳδία* Comedy
**Format:** *Ἔμμετρος* Verse

book 1.1 καί τοι τί φημι καὶ τί δρᾶν βουλεύομαι; προδοὺς ἀπιέναι τὸν ἀγαπητὸν δεσπότην, τὸν
book 1.2 τροφέα, τὸν
book 1.3 σωτῆρα, δι’ ὃν εἶδον νόμους Ἕλληνας, ἔμαθον γράμματ’, ἐμυήθην θεοῖς;
book 2.1 τετρακότυλον δὲ κύλικα κεραμεᾶν
book 2.2 τινα τῶν Θηρικλείων, πῶς δοκεῖς; κεραννύει καλῶς, ἀφρῷ ζέουσαν· οὐδ’ ἂν Αὐτοκλῆς οὕτως μὰ τὴν γῆν εὐρύθμως τῇ δεξιᾷ[ln_5]ἄρας ἐνώμα.
book 3.1 Ἀτρεστίδας
book 3.2 τις Μαντινεὺς λοχαγὸς ἦν, ἀνδρῶν ἁπάντων
book 3.3 πλεῖστα δυνάμενος
book 3.4 φαγεῖν.
book 4.1 πᾶς δὲ φιλοτίμως
book 4.2 πρὸς αὐτὸν τῶν νεανίσκων . . . . . . ἐγχέλειον· παρατέθεικε τῷ πατρί. ‘τευθὶς ἦν
book 4.3 χρηστή, πατρίδιον‘· ‘πῶς ἔχεις
book 4.4 πρὸς κάραβον;‘ ψυχρός ἐστιν, ἄπαγε, φησί· ῥητόρων οὐ γεύομαι.
book 5.1 μέγας θησαυρός ἐστι καὶ βέβαιος μουσικὴ ἅπασι
book 5.2 τοῖς μαθοῦσι
book 5.3 παιδευθεῖσί τε.
book 6.1 οὐ συμφέρον νέα ’στὶ πρεσβύτῃ γυνή· ὥσπερ γὰρ ἄκατος οὐδὲ μικρὸν
book 6.2 πείθεται ἑνὶ πηδαλίῳ, τὸ πεῖσμ’ ἀπορρήξασα δὲ ἐκ νυκτὸς ἕτερον λιμέν’ ἔχους’ ἐξευρέθη.
book 7.1 πονηρὸν υἱὸν καὶ πατέρα καὶ μητέρα ἔστιν μαγαδίζειν ἐπὶ τροχοῦ καθημένους· οὐδεὶς γὰρ ἡμῶν
book 7.2 ταὐτὸν ᾄσεται μέλος.
book 8.1 [spk_β]ἑφθῶν μὲν
book 8.2 σχεδὸν
book 8.3

τρεῖς μνᾶς. Β. λέγ’ ἄλλο. Α. ῥυγχίον, κωλῆν, πόδας τέτταρας ὑείους. Β. Ἡράκλεις. Α. βοὸς δὲ τρεῖς, ὄρνιθ’. Β. Ἄπολλον. λέγ’ ἕτερον. Α. σύκων δύο[ln_5]μνᾶς. Β. ἐπέπιες δὲ πόσον; Α. ἀκράτου δώδεκα κοτύλας. Β. Ἄπολλον, Ὧρε καὶ Σαβάζιε.

book 9.1 εἶτ’ ἐν χάρακι μὲν

book 9.2 ταῦτα καὶ παρεμβολῇ

book 10.1 [spk_β]καὶ κύλικ’ ἀ(κράτου) Θηρίκλειον εἰσφέρει

book 10.2 πλέον ἢ κοτύλας

book 10.3 χωροῦσαν ἕπτ’. Β. ἀγαθῇ τύχῃ.

book 11.1 τοῦ μή ποτ’ αὐτὸν ἐμπεσεῖν εἰς Λαΐδα

book 11.2 φερόμενον ἢ Μηκωνίδ’ ἢ Σισύμβριον ἢ Βάραθρον ἢ Θάλλουσαν, ἢ τούτων

book 11.3 τινὰ ὧν ἐμπλέκουσι

book 11.4 τοῖς λίνοις αἱ μαστροποί,[ln_5]ἢ Ναννάριον ἢ Μαλθάκην.

book 12.1 τίς

book 12.2 φησι

book 12.3 τοὺς ἐρῶντας οὐχὶ νοῦν ἔχειν; ἦ πού τίς ἐστι

book 12.4 τοὺς

book 12.5 τρόπους ἀβέλτερος· εἰ γὰρ ἀφέλοι

book 12.6 τις

book 12.7 τοῦ βίου τὰς ἡδονάς, καταλείπετ’ οὐδὲν ἄλλο

book 12.8 πλὴν

book 12.9 τεθνηκέναι.[ln_5]ἐγὼ μὲν οὖν καὐτὸς κιθαριστρίας ἐρῶν, παιδὸς κόρης, οὐ νοῦν ἔχω

book 12.10 πρὸς τῶν θεῶν; κάλλει καλῆς, μεγέθει μεγάλης, τέχνῃ σοφῆς· ἥν ἐστ’ ἰδεῖν ἥδιον ἢ τὸ θεωρικὸν ἔχουσιν ὑμῖν διανέμειν ἑκάστοτε.

Eulogikon public reading copy · View original HTML at eulogikon.org